# 17 OCTOMBRIE
# GHEORGHIOS MILITSIS

# SLUJBA SOBORULUI SF.DOCTORI FĂRĂ DE ARGINȚI



## MINEIUL PE OCTOMBRIE-GR


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ 20 ΑΓΙΩΝ ΑΝΑΡΓΥΡΩΝ

## Ποίημα Γεωργίου Μηλίτση

### ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Τοὺς γενναίους ὑμνήσωμεν, Ἀναργύρους τοὺς σύμπαντας, ὁμοῦ κοινὸν φέροντας τὸ φερώνυμον, θείους φρουροὺς ἡμῶν πέλοντας, τοὺς ζήλῳ τῆς πίστεως, καὶ στοργῇ τῇ πρὸς Θεόν, καὶ τὸν πέλας ἐκδώσαντας ἑαυτοὺς στεῤῥῶς, πρὸς κοινὴν εὐποιΐαν τῶν ἁπάντων, ἀναργύρως ὧν οἱ πλείους, ὑπὲρ Χριστοῦ καὶ ἐνήθλησαν. (Δίς).

Τὴν τριττὴν εὐφημήσωμεν, νῦν δυάδα ὁμώνυμον, Κοσμᾶν καὶ Δαμιανὸν τοὺς θεόφρονας, καὶ ὁμοτρόπους ἐν ἅπασι, τὸν Κῦρον σὺν ἅμα τε, Ἰωάννῃ τῷ κλεινῷ, θεῖον Παντελεήμονα καὶ Ἑρμόλαον, Διομήδην Σαμψών τε τοὺς ἐνδόξους, σὺν Μωκίῳ Ἀνικήτῳ, Θαλλέλαιόν τε καὶ Τρύφωνα.

Τὰ σεπτὰ ἐγκαυχήματα, Ἐκκλησίας τιμήσωμεν, κλεινοὺς Ἀναργύρους νῦν καὶ τοὺς Εἴκοσι, ναῷ αὐτῶν ἐπ' ὀνόματι, τοὺς θείους προμάχους τε, ἀντιλήπτορας θερμούς, τοῖς πιστῶς καταφεύγουσι, πάσαις θλίψεσι, ποταμοὺς ἀεννάους ἰμάτων, τοὺς προχέοντας τὰ ῥεῖθρα, πάντας ἐν πᾶσι προφθάνοντας.

*Δόξα. Ἦχος β΄.*

Ἰατροὶ τῶν ἀσθενούντων, θησαυροὶ τῶν ἰαμάτων, σωτήριοι τῶν πιστῶν, Ἀνάργυροι πανευκλεεῖς, τοὺς ἐν ἀνάγκαις

κράζοντας, καὶ ὀδυνωμένους ἰάσασθε, ἱκετεύοντες Θεὸν τὸν ἀγαθόν, λυτρώσασθαι ἡμᾶς τῶν παγίδων τοῦ ἐχθροῦ.

*Καὶ νῦν.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Εἰς τὸν Στίχον. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τῶν Ἀναργύρων τῇ μνήμῃ πάντες συνδράμωμεν, ἐν καθαρᾷ καρδίᾳ, καὶ ἁγνῷ συνειδότι, αὐτοῖς συνεκβοῶντες· χαίρετε νῦν, τῶν ἀσθενούντων ἡ ἴασις, ὅτι ὑμεῖς ἀπειλήφατε ἐκ Θεοῦ, τὴν ἐξουσίαν τῶν ἰάσεων.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Τὰς ἐντολὰς τοῦ Κυρίου καλῶς φυλάξαντες, φιλαργυρίας νόσον, ἐκτεμόντες πανσόφως, ἰᾶσθε ἀναργύρως, ὅθεν ὑμῶν, τὴν πανσέβαστον ἄθλησιν, ἀξιοχρέως τιμῶμεν θαυματουργοί, ἱκετεύσατε σωθῆναι ἡμᾶς.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Ὡς παῤῥησίαν λαβόντες παρὰ τοῦ μόνου Θεοῦ, τοῦ ἐλεεῖν καὶ σώζειν, ἐκ ποικίλων κινδύνων, λυτρώσασθε τοὺς πίστει ὑμνοῦντας ὑμᾶς, θεοφόροι Ἀνάργυροι, και ἐκ παθῶν καὶ κινδύνων καὶ πειρασμῶν, ψυχῆς ἅμα καὶ τοῦ σώματος.

*Δόξα. Ἦχος πλ. β΄.*

Φαιδρὰ καὶ ἐπίφωτος ἀνέτειλε σήμερον, ἡ μνήμη τῶν Ἀναργύρων Χριστοῦ, λαμπρῶς καταλάμπουσα ταῖς ἀκτῖσι τῶν θαυμάτων. Δεῦτε οὖν φιλέορτοι, πιστῶς πανηγυρίσωμεν. Δεῦτε τῇ σορῷ τῶν Ἁγίων, προθύμως πάντες προσδράμωμεν, ὅπως τὴν ταχίστην ἴασιν, ἀφθόνως παρ’ αὐτῶν κομισώμεθα, ἀναργύρως γὰρ παρέχουσα πᾶσι, τῇ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, τῶν ἰαμάτων τὰ χαρίσματα.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τῶν Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον. Ἀπολυτίκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τὴν εἰκοσάριθμον, ἔνθεον φάλαγγα, τὴν ἐξαστράπτουσαν, χάριν οὐράνιον, τῶν Ἀναργύρων τῶν λαμπρῶν, τὸ στῖφος ἀνευφημοῦμεν, οὗτοι γὰρ κατέβαλον, τοῦ βελίαρ τὴν δύναμιν, πάντων τὰ νοσήματα, συμπαθῶς ἐξιώμενοι, τῶν μετ' εὐλαβείας βοῶντων· δόξα Θεῷ τῷ ἐν Τριάδι.

*Δόξα. Ὅμοιον.*

Τὰ εὐωδέστατα, ἄνθη τῆς πίστεως, τὰ τὴν μυρίπνοον, χάριν ἐμπνέοντα, τὴν νοητὴν καὶ λογικήν, Ἀνάργυροι οἱ ἔνδοξοι, πᾶσαν γὰρ ἐμπνέοντες, εὐωδίαν τοῦ Πνεύματος, νόσους θεραπεύουσι, καὶ παθῶν ἀπαλλάττουσι, διὸ εὐχαριστοῦντες βοῶμεν· δόξα Θεῷ τῷ ἐν Τριάδι.

*Καὶ νῦν. Θεοτοκίον.*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν, τό *Μακάριος ἀνήρ.* Εἰς δὲ τό *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἡ Τριὰς ἡ ποιήσασα, ἐκ μὴ ὄντως τὰ σύμπαντα, ἐν ἑξάδι ἅπαντα συνεστήσατο, αὕτη ἡμᾶς τρισμακάριστοι, ἀκέστορας ἔνδοξε, ἰασρίθμους ἐπὶ γῆς, ὁμωνύμως κηρύττοντας, φῶς τρισήλιον, καὶ τὸν κόσμον ἰάσεων πληροῦντες, ὦ Κοσμᾶ Δαμιανοί τε, τῶν Ἀναργύρων οἱ ἔξαρχοι.

Σὺν Ἀνθίμῳ Λεόντιον, καὶ Εὐτρόπιον Τρύφωνα, Κῦρον Ἰωάννήν τε καὶ Ἀνίκητον, Παντελεήμονα Μώκιον, Σαμψὼν καὶ Ἑρμόλαον, θεῖον Ἰουλιανόν, Διομήδην τὸν ἔνδοξον, καὶ Θαλλέλαιον, τοὺς ὁμόφρονας πάντες συνελθόντες, θεοσόφους Ἀναργύρους, ᾀσματικῶς ἀνυμνήσωμεν.

Τοὺς ὡς ῥόδα ἀνθήσαντας, μαρτυρίου ἐν αἵμασιν, Ἀναργύρους ἅπαντες εὐφημήσωμεν, τὴν ἐν τῇ Ῥώμῃ ἀθλήσασαν, δυάδα τὴν πάντιμον, σὺν πεντάδι τῇ φαιδρᾷ, Διομήδην Ἀνίκητον, καὶ τὸν Τρύφωνα, τὸν Ἑρμόλαον ἅμα τῷ Μωκίῳ, τοὺς λαμπροὺς ἱερομύστας, καὶ τῶν πιστῶν τὰ προπύργια.

Ἑωσφόρον τὸν ἄδυτον, Ἀναργύρων τὸν ἔκλαμπρον, καὶ Μαρτύρων καύχημα τὸ ὑπέρφωτον, Παντελεήμονα ἅπαντες, τὸν μέγαν ὑμνήσωμεν, καὶ Θαλλέλαιον ὁμοῦ, Ἰωάννην καὶ Κῦρόν τε Ἰουλιανόν, τοὺς ἑτοίμους προστάτας τοῖς τελοῦσι, τὴν φαιδρὰν καὶ φωτοφόρον, καὶ ἱερὰν αὐτῶν ἄθλησιν.

Θεοδότης βλαστήματα, καὶ ἑώας αὐχήματα, ξυνωρὶς θεόλεγκτος ἀνεδείχθητε, κόσμος τῷ ὄντι οὐράνιος, Ὁσίων ἀγλάϊσμα, καὶ δικαίων καλλονή, ἀμισθὶ θεραπεύοντες οἱ αὐτάδελφοι, καὶ Σαμψὼν ἱερὸς ὁ ξενοδόχος, διὰ τοῦτο κατὰ χρέος, ὑμῶν τὴν μνήμην γεραίρομεν.

Τοὺς εἰς ἓν νῦν συνάψαντας, ἱερώτατον τέμενος, καὶ σεπτὴν πανήγυριν καὶ σεβάσμιον, πιστῶς τελοῦντας λυτρώσασθε, ἐκ πάσης κακώσεως, καὶ πταισμάτων χαλεπῶν, δαψιλῶς πᾶσι νέμοντες τὰ ἰάματα, καὶ πταισμάτων τὴν λύσιν ἀναργύρως, ἵνα πόθῳ ἐτησίως, ὑμᾶς

τιμῶμεν Ἀνάργυροι.

*Δόξα. Ἦχος πλ. β΄.*

Τὴν ἔνδοξον χορείαν, καὶ σεβάσμιον ἄθροισμα, τῶν θεοφόρων Ἀναργύρων, δεῦτε πιστῶς ἀνυμνήσωμεν λέγοντες· οἱ τῆς χάριτος δειχθέντες ὑπουργοὶ ἀναργύρως ὡς ὁ Σωτὴρ ἐνετείλατο, διὸ καὶ τὴν χάριν ὑμῖν ἐχορήγησεν, ἅπασαν νόσον θεραπεύειν, ἰάσασθε μακάριοι τὰ νοσήματα ἡμῶν, καὶ πρεσβεύσατε ἀδιαλείπτως, ὅπως τύχωμεν ἀκατακρίτως δι᾽ ὑμῶν συμπαραστῆναι τῷ Χριστῷ, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

*Καὶ νῦν. Θεοτοκίον.*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14).*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽

ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ' 1).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ’ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ’ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ζ'.7).*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη,

μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Εὐφραίνεται ἐν Κυρίῳ ἡ Ἀναργύρων χοροστασία, ἡ οὐράνιος παρεμβολή, ἡ τὸν εἰκοσάριθμον πυρσὸν τῆς χάριτος συγκροτοῦσα, καὶ τὰς ψυχὰς τῶν πιστῶν καταυγάζουσα, καὶ ἐκ πάσης αὐτοῦ βλάβης ἀπαλλάττουσα, ταῖς πρὸς Θεὸν αὐτῆς πρεσβείαις, ἣν καὶ ἡμεῖς ἐν ᾠδαῖς, εὐφροσύνως δοξάζομεν, καὶ πιστῶς λιτανεύοντες βοῶμεν, τοῦ πρεσβεύειν διηνεκῶς, ὑπὲρ τῶν πόθῳ τελούντων, τὴν ἱερὰν αὐτῆς Σύναξιν.

*Ἦχος β΄.*

Ὁ πεντάκλωνος βλαστός, ὁ ἐκ μιᾶς λογικῆς, θεοφυτεύτου ῥίζης τῆς πίστεως ἐκβλαστήσας, σήμερον συνήθροισεν ἐν τῇ μνήμῃ αὐτοῦ, ἅπαν τὸ στῖφος τῶν Ἀναργύρων· ἔδει γὰρ τὸ ὁμότροπον, ἐν μιᾷ πνευματικῇ ἁρμονίᾳ συντιμᾶσθαι, οὓς οὐ σὰρξ καὶ αἷμα συνείληφεν, ἀλλ’ εἷς ὁ λόγος τοῦ Θεοῦ ἐναπέτεκε, καὶ Μήτηρ μία ἡ Ἐκκλησία ἐθρέψατο, καὶ ἐν μιᾷ συνεισήγαγε πατρίδι τῇ ἄνω Σιών, ἐν ᾗ ἀλήκτως τῷ τεκόντι συναγάλλονται, μεμνημένοι ἡμῶν, τῶν ἐν πίστει καὶ πόθῳ τελούντων τὴν μνήμην αὐτῶν.

*Ἦχος γ΄.*

Ἡ ἐξ Ἀραβίας πεντάχορδος λογικὴ κιθάρα τοῦ Πνεύματος, ὁ Κοσμᾶς καὶ Δαμιανός, σὺν Εὐτροπίῳ, Ἀνθίμῳ

καὶ Λεοντίῳ, τὴν ὁμώνυμον δυάδα Κοσμᾶν τε καὶ Δαμιανὸν συνεκάλεσε, καὶ τοὺς ὁμοτρόπους αὐτῇ ἅπαντας, θεοσόφους Ἀναργύρους, Παντελεήμονα, Ἑρμόλαον καὶ Μώκιον, Σαμψῶν τε καὶ Ἀκίνητον, σὺν Κύρῳ καὶ Ἰωάννῃ, Θαλλέλαιόν τε Διομήδην, Ἰουλιανόν τε καὶ τὸν Τρύφωνα. Ὧν ταῖς λιταῖς ὁ Θεός, τοὺς ἐν αὐτῶν τεμένει ἑορτάζοντας, ἐκ πάσης νόσου ἐλευθέρωσον, καὶ ἀξίωσον τῆς οὐρανίου Βασιλείας Σου ὡς εὔσπλαγχνος.

*Ἦχος δ΄.*

Ἡ Βασιλεία Σου, Χριστὲ ὁ Θεός, βασιλεία πάντων τῶν αἰώνων, ἰδοὺ γὰρ συνήγαγεν εἰς ἕν, τοὺς ἐκ διαφόρων καιρῶν καὶ τόπων, καὶ ἐν ἑνὶ ναῷ ηὐδόκησας συντιμᾶσθαι, ὅθεν καὶ ἡμεῖς, οἱ τῆς αὐτῆς κλήσεως ἀναξίως ἀξιωθέντες, καὶ τῆς ἀῤῥήκτου ταύτης, καὶ ἀδιαῤῥήκτου ἑνώσεως τὸν δεσμὸν συντηροῦντες, μέλος ἐναρμόνιον συμπλέξαντες δεόμεθα, ἀξίωσον Σωτὴρ Βασιλεῦ, κοινωνοὺς γενέσθαι ἡμᾶς καὶ τῆς μελούσης Βασιλείας Σου.

*Ἦχος πλ. α΄.*

Ἐπέλαμψεν ἡμέρα χαρμόσυνος, καὶ ἑορτὴ πανσεβάσμιος, ἡ μνήμη τῶν Ἀναργύρων, τὰς ἀριστείας αὐτῶν καὶ τὰ τρόπαια, καὶ τὰς εὐποιΐας, καὶ φιλανθρωπίας κηρύτουσα. Οὗτοι γὰρ δωρεὰν λαβόντες ἐκ τῆς ἀκενώτου πηγῆς, ὡς νάματα ἰάματα, δωρεὰν παρέχουσι πᾶσι τοῖς ἐν ἀνάγκαις. Δεῦτε οὖν προσέλθωμεν, οἱ θλίψεσι συνεχόμενοι, ἐπὶ τὸ ἄμισθον ἰατρεῖον, καὶ τῶν παθῶν ἡμῶν θεραπείαν εὑρίσκομεν, τὴν ἄγρυπνον καὶ ἕτοιμον τῶν Ἁγίων προστασίαν. Ὧν ταῖς εὐχαῖς ὁ Θεός, τὴν ποίμνην ταύτην φύλαττε, ἐκ πάσης βλάβης ὑπερτέραν, τὴν ἐν πίστει τελοῦσαν, τὴν ἱερὰν ταύτην Σύναξιν.

*Ἦχος πλ. β΄.*

Τίς οὐ θαυμάσειε μόνον ἑνός τῶν Ἀναργύρων τὰ θαύματα; Τὰ δὲ πάντα εἰς ἓν συναγαγεῖν καὶ τὰ θαύματα ἀριθμήσειν, εἰς ψάμμον θαλασσῶν ὑπερβαίνοντα, νοῦς ἀδυνατεῖ· ὅθεν ἡμεῖς ἐν ἀμηχανίᾳ συνεχόμενοι λόγων, τὰ ἐγκωμίων ὅρους ὑπερβαίνοντα θαύματα τῶν Ἁγίων, σιγῇ τιμῶντες κράζοντες· ὡς ἐμεγαλύνθη τὰ ἔργα Σου Κύριε· Σὺ θαυμαστὸς ἐν τοῖς Ἁγίοις Σου δόξα Σοι.

*Ἦχος βαρύς.*

Κατακαμπτόμενοι τῷ βάρει παντοίων θλίψεων, ἐπὶ τὴν κραταιὰν ὑμῶν προστασίαν καταφεύγομεν Ἀνάργυροι· ὡς οὖν ἔχοντες ἀδαπάνητον χάριν καὶ ἄμισθον, εὐσπλαγχνιζόμενοι ἡμῖν τῆς ἀπορίας, καταπέμψατε ῥῶσιν ἄνωθεν, ἵνα πίστει καὶ πόθῳ ἐτησίως τελῶμεν, τὴν μνήμην ὑμῶν τὴν σεβάσμιον.

*Ἦχος πλ. δ΄.*

Οἱ τοῦ Θεοῦ μυστηρίων λαχόντες ἐπὶ τῆς γῆς, λειτουργοὶ Ἀνάργυροι, Ἑρμόλαε ἱερὲ σὺν τῷ Σαμψὼν καὶ Μωκίῳ, πάντας ὡς ἱερεῖς τοὺς θεοφόρους Ἀναργύρους, ἐν τῷ πανσέπτῳ τούτῳ ναῷ ἐκκλησιάζοντες, συμπαρίστασθε ἀοράτως ἐφορῶντες. Ὡς οὖν ἰατροὶ ψυχῶν τε καὶ σωμάτων, ἕκαστον ἡμῶν κατὰ τὴν ἰδίαν χρείαν θεραπεύσατε, ἀοράτῳ προμηθείᾳ, οἱ καὶ τὸν πόθον καὶ τὴν πίστιν, καὶ τὰς αἰτήσεις ἑκάστου ἐπιστάμενοι, πᾶσι χριστομιμήτως τὰς ἰάσεις βραβεύσατε.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε φιλεόρτων ὁ θίασος, ᾀσματικὴν μελῳδίαν κροτήσωμεν σήμερον· ἐν τῷ πανσέπτῳ ναῷ τῶν θεοσόφων Ἀναργύρων. Καὶ τούτους ὁμοῦ καὶ ἰδίως εὐφημοῦντες προσείπωμεν· χαίρετε, οἱ ἐν ἀθλήσει καρτερήσαντες, καὶ τῆς νίκης τὸ στέφος ἀράμενοι, Ἑρμόλαε μακάριε, καὶ

Μώκιε γενναιόφρον· χαίρετε, Διόμηδες, Ἀνίκητε, Παντελεῆμον στεῤῥότατε· χαίρετε, Κῦρε, Ἰωάννη, Θαλλέλαιε καὶ Τρύφων, Ἰουλιανέ· χαίρετε, ὁ πεντάκλωνος βλαστὸς τῶν χρυσοπλόκων αὐταδέλφων, οἱ δι᾽ αἵματος τελέσαντες τὸν δρόμον τοῦ μαρτυρίου, σὺν τοῖς ἐκ Ῥώμης Κοσμᾷ καὶ Δαμιανῷ· χαίρετε, οἱ ἐν ἀσκήσει καὶ θεαρέστῳ πολιτείᾳ τὸν βίον ἀνύσαντες, Σαμψὼν ἱερώτατε, καὶ οἱ βλαστοὶ Θεοδότης. Ἅπαντες Ἀνάργυροι, οἱ ταχεῖς ἀκέστορες παντοίων ἀῤῥωστημάτων, προφθάσατε καὶ νῦν ἡμᾶς ἀοράτῳ ἐπιστασίᾳ, λύοντες τὰς ὀδύνας, ἐκ τῶν τελούντων ἐν πίστει ὑμῶν τὸ μνημόσυνον.

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, τῶν Ἀναργύρων σεπτός, χορὸς ὁ θεῖος τὸν Θεὸν ἀγαπήσαντες, ψυχῆς ἐξ ὅλης καρδίας, καὶ διανοίας σοφοί, καὶ ἰσχύος ἄγαν ὡς ἐχέφρονες, δι᾽ Ὃν ἀγαπήσατε, ὁλοψύχως μακάριοι, καὶ τὸν πλησίον, ἑαυτὸν πλέον ἔνδοξοι, θεῖοι πρόμαχοι, ὡς ἐν ἔργῳ ἐδείξατε, τόπους γὰρ ἀμειβόμενοι, καὶ σφόδρα συμπάσχοντες, πᾶσιν αὐτοῖς ἀναργύρως ἐχορηγεῖτε τὴν ἴασιν, ἐξ ὧν καὶ οἱ πλείους, μαρτυρίας λαμπρῷ στέφει κατεκοσμήθητε.

*Στ.: Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις, τῶν Ἀναργύρων κλεινός, ὅμιλος θεῖος ἑαυτοὺς καταγώγια, Τριάδος τῆς ὑπερθέου, ἐνδεδειχότες σοφοί, τῇ καθάρσει πάντων καὶ ἁγνότητι, ψυχῆς καὶ τοῦ σώματος,

λαμπρὰ ὤφθητε κάτοπτρα, καὶ ἐξ αὐτῆς τε, νῦν τρανῶς ἐλλαμπόμενοι, ἀναδείκνυσθε, ὥσπερ ἥλιοι πάμφωτοι, πᾶσαν γὰρ τὴν ὑφήλιον, ᾀεὶ καταυγάζετε, ταῖς τῶν θαυμάτων ἀκτῖσι, σκότος παθῶν ἀπελαύνοντες, οὓς νῦν δυσωποῦμεν, ταῖς ψυχαῖς ἡμῶν αἰτεῖσθε τὸ μέγα ἔλεος.

*Στ.: Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις, τῶν Ἀναργύρων τερπνή, χορεία πᾶσα τὴν ὑφήλιον ἅπασαν, ᾀεὶ ἐπισκεπτόμενη, καὶ μέτα πότμον καλῶς, ὡς καὶ ζῶσα φίλτρῳ τῷ πρὸς Κύριον, καὶ τῇ συμπαθείᾳ τε, τῇ πρὸς πάντας πανόλβιοι, κοινοὶ σωτῆρες, καὶ θερμότατοι πρόμαχοι, ἐνδεικνύμενοι, τὸν ναὸν ἡμῶν Ἅγιοι, πᾶσι τοῖς καταφεύγουσι, καὶ πίστει προστρέχουσι, κοινὸν σαφῶς ἰατρεῖον, καὶ ὡς πηγὴν ἀνεξάντλητον, ἀφ’ ἧς ἀπαντλοῦντες, τὰς ἰάσεις ἀνεκλείπτως ὑμᾶς γεραίρομεν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τοὺς νοεροὺς φωστῆρας τῆς πίστεως, καὶ γενναίους προμάχους τῆς ἀληθείας, Ἑρμόλαον τὸν ἔνδοξον, τὸν καθηγητὴν τοῦ σοφοῦ Παντελεήμονος, καὶ Μώκιον τὸν ἀήττητον, τοὺς καθαιρέτας τῆς πλάνης, σὺν τῇ λοιπῇ χορείᾳ τῶν Ἀναργύρων, συνελθόντες εὐφημήσωμεν σήμερον, ἐν τῇ ἐνδόξῳ μνήμῃ τῶν συνάθλων Ἀναργύρων καὶ ὁμοτρόπων, Ἀνθίμου καὶ Εὐτροπίου. Οὗτοι γὰρ ὁμοῦ τῷ Χριστῷ συμπαριστάμενοι, τὰς ἰάσεις νέμουσι, τοῖς ἐν πίστει καὶ πόθῳ τελοῦσι τὴν μνήμην αὐτῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον. Ἀπολυτίκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τὴν εἰκοσάριθμον, ἔνθεον φάλαγγα, τὴν ἐξαστράπτουσαν, χάριν οὐράνιον, τῶν Ἀναργύρων τῶν λαμπρῶν, τὸ στῖφος ἀνευφημοῦμεν, οὗτοι γὰρ κατέβαλον, τοῦ βελίαρ τὴν δύναμιν, πάντων τὰ νοσήματα, συμπαθῶς ἐξιώμενοι, τῶν μετ' εὐλαβείας βοώντων· δόξα Θεῷ τῷ ἐν Τριάδι.

*Δόξα. Ὅμοιον.*

Τὰ εὐωδέστατα, ἄνθη τῆς πίστεως, τὰ τὴν μύριπνοον, χάριν ἐμπνέοντα, τὴν νοητὴν καὶ λογικήν, Ἀνάργυροι οἱ ἔνδοξοι, πᾶσαν γὰρ ἐμπνέοντες, εὐωδίαν τοῦ Πνεύματος, νόσους θεραπεύουσι, καὶ παθῶν ἀπαλλάττουσι, διὸ εὐχαριστοῦντες βοῶμεν· δόξα Θεῷ τῷ ἐν Τριάδι.

*Καὶ νῦν. Θεοτοκίον.*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ἁπάντων τῶν σεπτῶν, Ἀναργύρων τὴν μνήμην, τὴν θείαν καὶ φαιδράν, τῶν ἡμῶν πολιούχων, τελέσωμεν θεόφρονες, καταχρέος γηθόμενοι, καὶ γὰρ πέλουσι, κοινοὶ προστάται καὶ σῶσται, πάσαις θλίψεσι, πάντας ῥυόμενοι τάχος, τοὺς πίστει προστρέχοντας.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε ἁγνή, Θεοτόκε Μαρία, ἡ μόνη τῶν πιστῶν, προστασία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ Σοὶ τὰς ἐλπίδας, Κόρη ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον, ταῖς θείαις πρεσβείαις Σου.

*Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τὸν ἀδαπάνητον, θεῖοι Ἀνάργυροι, τῆς συμπαθείας τε, καὶ τῆς χρηστότητος, πλοῦτον ὑμῶν ἀδυνατεῖ, νοῦς βρότειος ἐννοῆσαι, γλῶσσά τε πανεύλαλος, ἐξειπεῖν ὑπερβαίνοντα, καὶ τὰ ὠκεάνεια, ῥεῖθρα ὄντως τοῖς πλήθεσι, θαυμάτων διὸ καὶ βοῶμεν· χαίρετει κρῆναι ἀέναοι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὴν ὡραιότητα, τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον, τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς ἐβόα σοι Θεοτόκε· Ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον, τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι· διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Οὐρανόθεν θαυμάτων τὴν δρεάν, παραδόξως λαβόντες παρὰ Χριστοῦ, πάντα θεραπεύετε, ἀναργύρως τὰ πάθη, ἐν ἡμῖν γὰρ ὤφθη ἡ χάρις τοῦ Πνεύματος, ἐνεργοῦσα θείων ἰάσεων δύναμιν, ὅθεν καὶ ἀφθάρτων, ἀγαθῶν εὐπορίαν, τῇ πίστει ἐκτήσασθε, ἀναργύρῳ φρονήματι, θεοφόροι Ἀνάργυροι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν

μνήμην ὑμῶν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὴν Βασίλισσαν πάντες δεῦτε πιστοί, τὴν Μητέρα τοῦ πάντων Δημιουργοῦ, ἐν φωναῖς μεγαλύνομεν καὶ ὑμνοῦντες βοήσωμεν· ἡ τῆς χαρᾶς αἰτία Παρθένε πανύμνητε, τοὺς τιμῶντάς σε σῷζε καὶ σκέπε πρεσβείαις Σου, ἐκ πειρασμῶν παντοίων καὶ νόσων καὶ θλίψεων, ἔχεις γὰρ ὡς Μήτηρ, τοῦ Θεοῦ παῤῥησίαν, οἰκτείρειν βραβεύειν τε, νοσημάτων τὴν ἴασιν, διὰ τοῦτο βοῶμέν Σοι· πρέσβευε τῷ Σῷ Υἱῷ καὶ Θεῷ, τοῦ δοθῆναι συγγνώμην τοῖς δούλοις Σου.

*Οἱ Ἀναβαθμοί· τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.*

Προκείμενον: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Εὐαγγέλιον: *Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς...*

Ὁ Ν΄ Ψαλμός.

Δόξα: *Ταῖς τῶν Ἀναργύρων...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ἀγάλλεται ὁ χορὸς τῶν Ἁγίων εἰς αἰῶνας, Βασιλείαν γὰρ οὐρανῶν ἐκληρονόμησαν, γῆ τὰ λείψανα αὐτῶν δεξαμένη, εὐωδίαν διέπνευσε, δοῦλοι Χριστοῦ γεγόνασι, κατασκηνώσαντες εἰς ζωὴν τὴν αἰώνιον.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ΄ καὶ οἱ β΄ τῶν Ἁγίων εἰς η΄.

Ὁ α΄ Κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς: *Χάριν μοι δίδου ἡ πληθὺς Ἀναργύρων.* Ἐν τοῖς Θεοτοκίοις· *Θεοδωρήτῳ.*

*Ὠδὴ α΄. Ἦχος α΄. Χριστὸς γεννᾶται.*

Χριστοῦ τεμένη πανάγια, Χριστοῦ φωτοειδῆ καταγώγια, Χριστοῦ εὐπρεπῆ ἀνάκτορα, ἡ πάντιμος χορεία καὶ παγκαλής, πάντων Ἀναργύρων, φιλοξένησον ἡμᾶς τοὺς εὐφημοῦντάς σε.

Ἀγάπῃ θείᾳ νευρούμενοι, τυράννων ἀπειλαῖς οὐκ ἐκάμφθητε, Χριστῷ τῷ Θεῷ πειθόμενοι, κόσμῳ καὶ τοῖς ἐν κόσμῳ οἱ εὐκλεεῖς, πᾶσι νεκρωθέντες, αἰωνίων ἀγαθῶν κατηξιώθησαν.

Ῥώμης τῆς πάλαι βλαστήματα, καὶ πίστεως Χριστοῦ καλλωπίσματα, καὶ τῶν ἐν ἀνάγκαις πρόμαχοι, ἔνδοξε Κοσμᾶ σὺν Δαμιανῷ τε, ῥώμην ψυχῆς νῦν τοῖς εὐφημοῦσι, καταπεμφθῆναι πρεσβεύσατε.

*Θεοτοκίον.*

Θεὸν Παρθένε ἱκέτευε, Ὃν ἔτεκες ἀφράστως Θεόνυμφε, Χριστὸν Σὸν Υἱὸν δυσώπησον, ἄφεσιν ἐπταισμένων, δοῦναι ἡμῖν τοῖς κατεγνωσμένοις, καὶ παντοίων πειρασμῶν τὴν ἀπολύτρωσιν.

Ὁ β΄ Κανὼν τῶν Ἁγίων.

*Ὠδὴ α΄. Ἦχος α΄. Ἀνοίξω τὸ στόμα μου.*

Πίστως αἰτουμένῳ μοι, τοῦ δοῦναι λόγον πρεσβεύσατε, σοφίας Ἀνάργυροι, ὅπως ὑμνήσω φαιδρῶς, θερμοὶ πρόμαχοι, ὁμοῦ τὴν σεβασμίαν, ὑμῶν νῦν πανήγυριν τὴν ἀεισέβαστον.

Βαβαὶ τοῦ τολμήματος! ὅπως τοὺς πάντας ἐτόλμησα, αἰνέσαι νῦν ᾄσμασι, ὑμᾶς Ἀνάργυροι, μὴ δυνάμενος κᾂν ἕνα ἐξυμνῆσαι, ὑμῶν δὲ τῇ χάριτι τοῦτο τεθάῤῥηκα.

Ἡ γῆ ἀπηνέγκατο, ὑμᾶς ὦ θεῖοι Ἀνάργυροι, ὁ Πόλος κατέχει δὲ πάντως τὰ πνεύματα, ὑμῶν ἔνδοξοι, θερμότατοι

προστάται, ὅθεν εἰς οὐράνια νῦν συναγάλλεσθε.

*Θεοτοκίον.*

Ῥόδον τὸ ἀμάραντον, χαῖρε ἡ μόνη βλαστήσασα, τὸ μῆλον τὸ εὔοσμον, χαῖρε ἡ τέξασα, τὸ ὀσφράδιον τοῦ μόνου Βασιλέως, χαῖρε ἀπειρόγαμε κόσμου διάσωσμα.

*ᾨδὴ γ΄. Τῷ πρὸ τῶν αἰώνων.*

Ἰατροὶ δειχθέντες, ἐκ Θεοῦ θεοφόροι ἀφθόνως πιστοῖς, τῶν νοσημάτων τὰς ἰάσεις, ἀναργύρως ποιοῦντες, διὸ εὐσεβῶς κραυγάζομεν, τοὺς ἐν αἰνέσει αἰνοῦντας ὑμᾶς, σώσατε Ἀνάργυροι.

Νῦν ἐξ Ἀραβίας, πενταυγεῖς ὡς ἀστέρες φανέντες ἡμῖν, τῶν οὐρανίων χαρισμάτων, τὰς ἀκτῖνας πλουσίως, ὡς φῶς πανταχοῦ παρέχετε, τοῖς ἐκτελοῦσι τὴν μνήμην ὑμῶν, ἔνδοξοι πεντάδελφοι.

Μυστικῶς παρόντες, τῷ ναῷ τῷ τὰς κλήσεις ποιοῦντι ὑμῶν, καὶ ἐφοροῦντες ἀοράτως, τὰς αἰτήσεις ἁπάντων, ἐν ᾧ ἐκτενῶς κραυγάζομεν, τοὺς ἑορτάζοντας πόθῳ ὑμᾶς, ῥύσασθε ἐκ θλίψεων.

*Θεοτοκίον.*

Ἔχεις εὐσπλαγχνίας, τὴν πηγὴν Θεοτόκε Παρθένε ἁγνή, τὴν ἐκ νηδύος προελθοῦσαν, τῆς σαρκός Σου ἀφράστως, Χριστὸν τὸν εὔσπλαγχνον, τοῦτον ἐκδυσώπει ταῖς Σαῖς λιταῖς, εὔσπλαγχνον γενέσθαι μοι.

*Ἕτερος. Τοὺς Σοὺς ὑμνολόγους.*

Τριττὴν συζυγίαν Ἀναργύρων, Κοσμᾶ τε καὶ τοῦ Δαμιανοῦ, πάντιμον νῦν γεραίρομεν, τῶν καὶ ἐπιτηδεύματος, τοῦ ἴσου ὡς καὶ κλήσεως, τετυχηκότων πανάριστα.

Λαμπροί τε τῇ πίστει καὶ τῷ βίῳ, καὶ ἴσοι τὸν ζῆλον οἱ στεῤῥοί, ὤφθησαν οἱ ἐκ Ῥώμης τε, καὶ ἐκ Ἀσίας λάμψαντες,

καὶ οἱ ἐξ Ἀραβίας τε, διὸ ὁμοῦ γεραιρέσθωσαν. Τίς ἂν κατ' ἀξίαν εὐφημήσει, τὸν ἔρωτα τὸν πρὸς τὸν Θεόν, καὶ τὸν πλησίον Ἅγιοι; Δι' ὃν περιοδεύετε, τόπων ἐκ τόπων ἔνδοξοι, εὐεργετοῦντας τοὺς ἅπαντας.

*Θεοτοκίον.*

Χειμάζει με κλύδων ἁμαρτίας, καὶ σάλος ἀτόπων λογισμῶν, σπλαγχνίσθητι πανάμωμε, καὶ χεῖρα βοηθείας με, ὡς ἐλεήμων ἔκτεινον, ὅπως σωζόμενος γεραίρω Σε.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Ἰαμάτων δοτῆρες θαυματουργοί, καὶ θαυμάτων λαμπτῆρες φωταγωγοί, πᾶσιν ἀνεδείχθητε, τῇ τοῦ Πνεύματος χάριτι, τῶν γὰρ παθῶν τὴν φλόγα τῇ πίστει δροσίζοντες, τῶν πιστῶν ἐν ταύτῃ τὸ φρόνημα θάλπετε, ὅθεν ἰατρεῖον, τῶν ψυχῶν κεκτημένοι, τὸν θεῖον ναὸν ὑμῶν ἐν αὐτῷ καταφεύγομεν, θεοφόροι Ἀνάργυροι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὡς παρθένον καὶ μόνην ἐν γυναιξίν, ἀπειράνδρως τεκοῦσα Θεὸν Σαρκί, πᾶσαι μακαρίζομεν γενεαὶ τῶν ἀνθρώπων, τὸ γὰρ πῦρ ἐσκήνωσεν ἐν Σοὶ τῆς θεότητος, καὶ ὡς βρέφος θηλάζεις τὸν Κτίστην καὶ Κύριον, ὅθεν τῶν Ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζουσι τὸν πανάγιον Τόκον Σου, καὶ συμφώνως βοῶμέν Σοι· πρέσβευε τῷ Σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων δοῦναι τὴν συγχώρησιν, τοῖ εὐσεβῶς προσκυνοῦσι τὴν Αὐτοῦ ἀγαθότητα.

*Ὠδὴ δ΄. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.*

Ὅλην μου τὴν ἔφεσι πρὸς σέ, καὶ κλίσιν τῆς ψυχῆς Χριστέ, ἀπὸ καρδίας ἀνατίθημι, ἐβόα ὁ εὐκελής,

Ἀναργύρων θίασος, δὸς δὴ ἰαμάτων σου τὴν χάριν, τὴν ἄφθονον ἣν καγώ, δώσω ἀναργύρως τοῖς χρήζουσιν.
Ἴσοι τοῖς χαρίσμασιν εἰσίν, ὡς κρήνη ἐκ μιᾶς πηγῆς, οἱ ἀναργύρως θεραπεύοντες, τὰς νόσους δὲ τῶν πιστῶς αἰτουμένων ἴασιν, διὸ εὐλαβῶς ὑμνολογοῦντες, βοήσωμεν ἐμμελῶς· δόξα τῷ αὐτοὺς ᾀεὶ δοξάζοντι.
Δεῦτε τὸν Κοσμᾶν Δαμιανόν, καὶ τετρακτὺν ὁμότροπον, τῶν Ἀναργύρων εὐφημήσωμεν, τὴν θείαν εἰκονικῶς, Τριάδα ἐκτυποῦσαν, κλήσει τῇ τρισσῶς ὁμωνυμοῦντες, τοῖς ὀνόμασιν οἱ τρεῖς, δόξαν τῷ Θεῷ ἀναπέμποντες.
Ἱερὸν Ἑρμόλαον σεπτῶς, τὴν πλάνην ἐκριζῶν αὐτῆς ὡς καθελόντα ἀνυμνήσωμεν, θυσίας γὰρ τῷ Θεῷ, ἀναιμάκτους προσφέρων, θῦμα ἑαυτῶν τοῦ μαρτυρίου, προσήγαγεν ἱερόν, ὅθεν νῦν ἀλήκτως δοξάζεται.
*Θεοτοκίον.*
Ὄντως Σὺ ἐπέκεινα βροτῶν, Ἀγγέλων τε ὑπέρτιμος, Θεογεννῆτορ Κόρη πέφυκας, τὸν πάντων γὰρ Ποιητήν, ἐν γαστρὶ συνείληφας, σάρκα ὑλικὴν ἠμφιεσμένον, τεκοῦσα δίχα σπορᾶς, ὢ κενοπρεποῦς θεωρήματος!

*Ἕτερος. Τὴν ἀνεξιχνίαστον.*
Κύρου Ἰωάννου τε θείαν στοργήν, καὶ τὸν βιαιότατον θάνατον, ὃν τῇ ἀθλήσει, τῇ ἐνδόξῳ ἀνδρικῶς, καθυποστάντες ὤφθησαν, κλέος τῶν Μαρτύρων ὑμνήσωμεν.
Τοῦ Παντελεήμονος νῦν τοῦ λαμπροῦ, καὶ ἐνδόξου Μάρτυρος σήμερον, σὺν Ἑρμολάῳ, τῷ αὐτοῦ καθηγητῇ, λίαν εἰκὸς μεμνῆσθαί με, ὡς τῶν Ἀναργύρων ἐξάρχοντες.
Ὡς λαμπρὸς ἐφάνης τῷ βίῳ σοφέ, ἀλλὰ καὶ τοῖς ἄθλοις λαμπρότερος, Παντελεῆμον, κλῆσιν ἄνωθεν πλουτῶν, ἣν καὶ κυροῖς τοῖς πράγμασι, πάντας ἐλεῶν τοὺς προστρέχοντας.

*Θεοτοκίον.*

Σὲ τὸ ἱλαστήριον πάντων βροτῶν, πίστει ἱκετεύω καὶ δέμαι, ὡς ἐλεήμων, ἵλεών μοι τὸν Κριτήν, καὶ Σὸν Υἱὸν ἀπέργασαι, ὅπως ἐν αἰνέσει δοξάζω σε.

*Ὠδὴ ε΄. Θεὸς ὢν εἰρήνης.*

Διὰ Ἑρμόλαου, σοφῶν διδαχῶν, Παντελεήμων ὁ μέγας ἀνέτειλε, νοσοῦντων καταφύγιον ταχύς τε βοηθός, πάντων τῶν δεομένων, φερωνύμως ὑπάρχων, καὶ ἡμᾶς Ἀθλοφόρε, ταῖς σαῖς πρεσβείαις περιφρούρησον.

Ὁ Θεός σε Μάρτυς, πηγὴν διαυγῆ τοῖς νοσοῦσιν ἀνέδειξε Μῶκιε, ὑγείαν παρεχόμενον καὶ ῥῶσιν ψυχικήν, ὡς ἱερεῖ Κυρίου, καὶ ἰατρῷ καμνόντων, ἐκτενῶς σοι κράζομεν, ὑμνολογοῦντές σου τὰ θαύματα.

Ὕψος σῶν χαρίτων, νοῦς ἐξασθενεῖ, εὐφημῆσαι θεόφρον Θαλλέλαιε, θεόθεν γὰρ ἀπείληφας καμάτων τὸν μισθόν, ὅθεν ἀφθόνως νέμεις, πανταχοῦ τὰς ἰάσεις, τοῖς πιστῶς γεραίρουσι, τὸ σὸν πανσέβαστον ὄνομα.

*Θεοτοκίον.*

Δυνάμεις Ἀγγέλων, Παρθένε ἁγνή, ὑπερέχουσα ὤφθης κυήσασα, βουλῆς μεγάλης Ἄγγελον Θεὸν Ἐμμανουήλ, βροτοὺς ἐπουρανίους, Αὐτοῦ τῇ καταβάσει, ἐργαζόμενον Κόρη, δι’ εὐσπλαγχνίαν ἀδιήγητον.

*Ἕτερος. Ἐξέστη τὰ σύμπαντα.*

Σαμψὼν τὸν θεόφρονα, σὺν Διομήδῃ σήμερον, τὰ σεπτὰ καυχήματα χορείας, τῶν Ἀναργύρων πάντες τιμήσωμεν, τούτους ἐκτενῶς σὺν τοῖς λοιποῖς, πρεσβευτὰς προβάλλοντες, πρὸς Θεὸν τὸν παντάνακτα.

Καὶ Μώκιον ᾄσμασι, γεραίρω καὶ Ἀνίκητον, νῦν ὡς τοῦ χοροῦ τῶν Ἀναργύρων, πέλοντας ἄμφω καὶ κατυαγάζοντας,

ἅπαντας θαυμάτων ταῖς βολαῖς, τοὺς πιστῶς προσφεύγοντας, ἐν κινδύνοις καὶ θλίψεσι. Πῶς ἂν παραδράμωμεν, σφραγίδα καὶ καύχημα, τοῦ κλεινοῦ χοροῦ τῶν Ἀναργύρων, σεπτὴν τριάφα τὸν Θαλλέλαιόν τε, Τρύφωνα καὶ Ἰουλιανόν, τοὺς θαυμάτων ἄπαυστον, τὴν πληθὺν πᾶσι νέμοντας.

*Θεοτοκίον.*

Μὴ παύσῃ πρεσβεύουσα, Θεὸν Ὃν ἐσωμάτωσας, Κόρη ὡς Σωτῆρα καὶ Δεσπότην, λύσιν δωρῆσαι τῶν ἐπταισμένων μοι καὶ πρὸς τὴν ἀρχαίαν ἀγαγεῖν, αὖθις εὐφροσύνην με, ἣν ἀφρόνως ἀπώλεσα.

*Ὠδὴ στ΄. Σπλάγχνων Ἰωνᾶν.*

Ἡμεροφανὴς ἡμῖν ἐξανέτειλεν, ἡ μνήμη ὑμῶν θεῖοι Ἀνάργυροι, ἐν ᾗ παμφαὴς ὡς φῶτα αὐγάζετε, ἀκτῖνας φαιδρὰς τὰ θαυμάσια, ἀθλήσαντες καρτερώτατα, νίκην ὅθεν ἐκομίσασθε, εὐπρεπῆ καὶ φαιδρὰ διαδήματα. Πάντιμος ὑμῶν ὁ θάνατος Ἅγιοι, ἐνώπιον νῦν Κυρίου γέγονε, τοῦ τιμήσαντος, τοῖς τιμίοις αὐτοῦ πάντας πάθεσι, καὶ τὸν ἄτιμον βελίαρ καταισχύναντος, πάσαις προσβολαῖς κολάσεων, κατεάξαι ὑμᾶς μηχανώμενον. Λύτρωσιν δεινῶν πταισμάτων καὶ θλίψεων, ὀρέξατε νῦν θεῖοι Ἀνάργυροι, πᾶσαν ἄμισθον, τοῖς τελοῦσιν ὑμῶν τὴν μνημόσυνον, καὶ ἐκ πόθου, τὴν συνάθροισιν γεραίρουσιν, ἥνπερ προσοφυῶς συνήθροισε, πενταυγὴς ὁμοτρόπων ὁ σύλλογος.

*Θεοτοκίον.*

Ὤφθη διὰ Σοῦ τῆς φθορᾶς ἡ ἀναίρεσις, ζωὴν γὰρ Χριστὸν ἐκυοφόρησας, τὸν δωρούμενον, καθαρῶς εἰς Αὐτὸν τοῖς πιστεύουσι, τὴν ἀθάνατον καὶ θείαν ἀγαλλίασιν, ὅθεν Θεοτόκε αἴτησαι, λυτρωθῆναι κινδύνων τοὺς δούλους Σου.

*Ἕτερος. Τὴν θείαν ταύτην.*

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν ὑμῶν ἔνδοξοι, θεῖοι Ἀνάργυροι, σῶσται καὶ ῥῦσται θερμότατοι, τὴν παρ' ὑμῶν αἰτοῦμεν πιστῶς βοήθειαν. Δεκάτην οἶδα καὶ πάντερπνον, ὑμῶν τὴν συζυγίαν Ἀνάργυροι, τριττὴν ὁμώνυμον, ἑβδόμην δ' αὖ ἐπιλοίπους τε, τοὺς ἅπαντας κοινῇ γε φερωνυμήσαντας. Εἰκοσάριθμοί που τυγχάντετε, Ἀνάργυροι ὡς στύλοι ἀκράδαντοι, καὶ πύργοι ἄσειστοι, καὶ ποταμοί τε ἀένναοι, τὰ θαύματα τοῖς πᾶσι πλουσίως ῥέοντες. Τετράκις πέντε ὑπάρχοντες, τῆς γῆς τὴν τετραμέρειαν ἅπασαν, καταφωτίζετε, ψυχῆς ὁμοῦ καὶ τὰ σώματα, κατ' ἄμφω τὰς αἰσθήσεις πάντων ἰώμενοι.

*Θεοτοκίον.*

Ὑμνεῖν Σε χρέος ὀφείλομεν, ἀλλ' ὄντως πρὸς ἀξίαν οὐ σθένομεν, διὸ θαυμάζοντες, σιγῇ τιμῶμεν τὸ ἄφραστον, φρικτῶς ἐν Σοὶ Παρθένε πραχθὲν μυστήριον.

*Κοντάκιον. Τὰ ἄνω ζητῶν.*

Οἱ ἐν πειρασμοῖς καὶ θλίψεσιν ὑπάρχοντες, τῷ ναῷ ὑμῶν προστρέχοντες λαμβάνομεν, τὰ σεπτὰ ἰάματα, τῆς ἐν τούτῳ οἰκούσης θείας χάριτος Ἀνάργυροι, ὑμεῖς γὰρ ᾀεὶ τῷ κόσμῳ πηγάζετε ἰάματα.

*Ὁ Οἶκος.*

Πάσης συνέσεως καὶ σοφίας ὑπέρκειται ὁ λόγος τῶν σοφῶν Ἀναργύρων, καὶ πᾶσι γνῶσιν παρέχουσι. Τοῦ γὰρ Ὑψίστου χάριν λαβόντες, ἀοράτως τὴν ῥῶσιν δωροῦνται πάσιν, ὅθεν κᾀμοὶ διηγήσεως χάριν δεδώρηνται ὑμνῆσαι ὡς θεοφόρους, εὐαρέστους Θεοῦ καὶ θεράποντας, ἰαμάτων πλήθη παρέχοντας, ἀλγηδόνων γὰρ πάντας λυτροῦται, ᾀεὶ

τῷ κόσμῳ πηγάζετε ἰάματα.

*Συναξάριον.*

Τῇ ΙΖ' τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ἁγίων Εἴκοσι Ἀναργύρων· Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἐκ Ῥώμης, Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἐξ Ἀσίας, Κοσμᾶ, Δαμιανοῦ, Εὐτροπίου, Ἀνθίμου καὶ Λεοντίου τῶν ἐξ Ἀραβίας, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Μωκίου καὶ Ἀνικήτου, Ἰουλιανοῦ, Θαλλελαίου καὶ Τρύφωνος.

*Πάντας τιμῶ συνάμα τοὺς Ἀναργύρους,*
*ἐν τῷδε ναῷ τῷ σφίσιν ἠγερμένῳ.*
*Ἡ εἰκοσάριθμος πέλουσα τῶν Ἀναργύρων,*
*χορεία σῷζε τοὺς δὲ τοὺς σοὺς οἰκέτας.*
*Εἴκοσιν ὁμοῦ νυνὶ ἀναργύροας πάντας μέλπω.*

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

*Ὠδὴ ζ'. Οἱ παῖδες εὐσεβείᾳ.*

Ἦλθον ὡς ἐν καμίνῳ μαρτύριου, τὸ πάθος τὸ ἄστεκτον οἱ ἀδαμάντινοι, Χριστοῦ θεῖοι Μάρτυρες δειχθέντες τρανῶς, ὁ Κῦρος Ἰωάννης τε, ὕμνον μέλποντες· ὁ τῶν Πατέρων Θεός, εὐλογητὸς εἶ.

Θυρεῷ πεφραγμένος εὐσεβείας, ὁ κλεινὸς Θαλλέλαιος καὶ Διομήδης, τοὺς ἐχθροὺς ἐξηφάνισαν ἐν χάριτι, καὶ τῆς νίκης ἐκβοῶντες στέφος ἔλαβον, ὁ τῶν Πατέρων Θεός, εὐλογητὸς εἶ.

Ὑπέδειξας τυράννοις φερωνύμως, σῆς ψυχῆς τὸ φρόνημα Μάρτυς ἀνίκητον, δεινὰς μηχανὰς καταστρεψάμενος, καὶ ἐν μέσῳ τῶν δεινῶν βοῶν Ἀνίκητε· ὁ τῶν Πατέρων Θεός,

εὐλογητὸς εἶ.
Σοφίας τῷ κρατῆρι προσπελάσας μυστικῶς τὰ χείλη σου Σαμψὼν μακάριε, κρουνοὺς ἰαμάτων ὅθεν ἔβλυσας, ὑπὲρ μέλι καὶ κηρίον τοῖς λαοῖς ἐκβοῶν· ὁ τῶν Πατέρων Θεός, εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ῥυσθῆναι πάσης μοχθηρίας, Θεοτόκε πρέσβευε τῷ Σῷ Υἱῷ καὶ Θεῷ, λυτρωθῆναί τε κολάσεως, τοὺς τιμῶντάς Σε ἐν πίστει καὶ κραυγάζοντας· ὁ τῶν Πατέρων Θεός, εὐλογητὸς εἶ.

*Ἕτερος. Οὐκ ἐλάτρευσαν.*

Οὐκ ἐθέλχθητε οὐδόλος, ὦ θεόφρονες, τῇ ματαιότητι, οὐδέ τινι τῶν τερπνῶν, τοῦ βίου ἀλλ’ ἅπαντα σκύβαλα ἥγησθε, Χριστὸν ἔχοντες· ᾧ καὶ πιστῶς κραυγάζετε· ὁ Θεὸς εὐλογητὸς εἶ.
Τῷ κελεύσματι τῷ θείῳ πειθαρχήσαντες, οὐ κατεδέξασθε, παρ’ οὐδενός τι λαβεῖν, σοφοὶ πρὸς ἀντάμειψιν δῶρον ἐλάβετε, δῶρον δίδοτε, ὅθεν καὶ ἐκληρώσασθε, τὸ φερώνυμον εἰκότως.
Πῶς αἰνέσωμεν ὑμᾶς ὦ παμμακάριστοι, τοὺς ὑπερβαίνοντας, καὶ νοῦν καὶ λόγον ἡμῶν, καὶ λίαν ξενίζοντας τοῖς ξένοις θαύμασι, διὸ κράζομεν· ὁ τῶν Πατέρων Κύριος καὶ Θεός, εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ῥητορεύουσα οὐ σθένει γλῶσσα Δέσποινα, ὑμνολογῆσαί Σε, ὑπὲρ γὰρ τὰ Σεραφείμ, ὑψώθης κυήσασα τὸν Βασιλέα Χριστόν, Ὃν ἱκέτευε, πάσης νῦν βλάβης ῥύσασθαι, τοὺς πιστῶς Σε προσκυνοῦντας.

*Ὠδὴ η΄. Θαύματος ὑπερφυοῦς.*

Ἄνωθεν περιβολὴν ἀθανασίας, ἐνεδύσαντο ὁ θεῖος Τρύφων, καὶ ὁ Ἰουλιανὸς ἀθλήσαντες καρτερικῶς, τὸ μαρτύριον Κυρίου ἐν βασάνοις πολλαῖς, διὸ ἀνεβόων ἀγαλλόμενοι· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Νάουσιν ὡς ἐκ πηγῆς κρουνοὺς θαυμάτων, καὶ παθῶν τὸν ῥύπον ἐκπλύνουσιν, ἀναργύρως σήμερον πενταδέλφων, θεῖος χορός, παρεχόμενον πτιασσμάτων ἀπολύτρωσιν, τοῖς ἐν πίστει μελῳδοῦσι πάντοτε· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἄνθιμος σὺν Λεοντίῳ καὶ Εὐτροπίῳ, οἱ ἀήττητοι καὶ Ἀθλοφόροι, σὺν Κοσμᾷ καὶ Δαμιανῷ οἱ τὸ πλῆθος, τῶν ἱερῶν Ἀναργύρων ἀθροίσαντες ἐν τῇ μνήμῃ αὐτῶν, οὗτοι ἡμᾶς μέλπειν διεγείρουσιν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ῥύσασθε ἐκ πάσης βλάβης ἀλλοτρίου, Ἀναργύρων δῆμος ὁ ἔνθεος ἔχων χάριν ἄνωθεν θεραπεύειν, τῶν πιστῶν ἀντίληψιν αἰτούντων ἐξ ὑμῶν εὐλαβῶς, διὸ εὐχαρίστως ἀναμέλπομεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ἱλαστήριον τὸ μάννα κεκτημένον, τὸ σωτήριον ἔγνωμεν Κόρη, κιβωτὸν καὶ τράπεζαν καὶ λυχνίαν, θρόνον Θεοῦ, καὶ παλάτιον καὶ γέφυρα μετάγουσαν, πρὸς θείαν ζωὴν τοὺς ἀναμέλποντας· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

*Ἕτερος. Παῖδας εὐαγεῖς.*

Ἄνθη τε καὶ κρίνα ἐν λειμῶνι, καὶ ῥόδα τῆς Ἐκκλησίας ἀνεφάνητε, τῶν πιστῶν τὸ σύστημα, ξένως καθηδύνοντες, ὡς

εὐωδίαν ἄῤῥητον τούτοις ἐμπνέοντες, τὸν Κύριον, ὑμνεῖτε βοῶσι, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἥλιοι καθάπερ προτεθέντες, τῷ θείῳ τῆς Ἐκκλησίας στερεώματι, πάντας καταυγάζετε, τοῖς θαυμάτων λάμψεσι, ἃ καθ' ἑκάστην Ἅγιοι τελεῖν οὐ παύετε, τοῖς κραυγάζουσιν· ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Κρῆναι ποταμοί τε ἀεννάως, προχέοντες δὴ τοῖς πᾶσι τὰ ἰάματα, ὤφθητε μακάριοι, πάντας θεραπεύοντες, τοὺς προσιόντας ἄληκτα ψάλλειν προτρέποντες· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Χεῖρα ἐκτενῶς ἐπανατείνω, καὶ ὄμματα τῆς ψυχῆς μου πρὸς Σὲ Δέσποινα, ὅλος συνεχόμενος, τοῖς ποικίλαις θλίθψεσι, καὶ τὴν θερμὴν ἀντίληψιν Σοῦ προσκαλούμενος, διὸ ἐν ἀμηχάνοις τὸν πλοῦτον, δεῖξον Θεοτόκε τῆς Σῆς φιλανθρωπίας.

*ᾨδὴ θ΄.*

Εἰς τὸν Κανόνα τῆς Θεότοκου, προτάσσονται εἰς ἕκαστον τροπάριον, τὰ ἑξῆς Μεγαλυνάρια:

*Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.*

*Μεγάλυνον ψυχή μου, τὴν ἁγνὴν Παρθένον καὶ μόνην Θεοτόκον.*

*Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας.*

*Μεγάλυνον ψυχή μου, τὴν ἀδιαφθόρως τεκοῦσαν τὸν Σωτῆρα.*

*Μεγάλυνον ψυχή μου, τὴν ἁγιωτέραν ἁπάντων τῶν κτισμάτων.*

*Μεγάλυνον ψυχή μου, τὴν μεγαλυνθεῖσαν, καὶ μεγαλωσύνην τῷ κόσμῳ παρασχοῦσαν.*

*Ὁ α' τῶν Ἁγίων.*

*Μεγάλυνον ψυχή μου, τὰς πηγὰς θαυμάτων, πηγάζοντας τῷ κόσμῳ, ἐνδόξους Ἀναργύρους.*

Γράψατε ἐν βίβλῳ τῆς ζωῆς, Ἀνάργυροι, τοὺς εὐλαβῶς γράψαντας, κλήσεις τὰς λαμπρὰς ὑμῶν, καὶ ἐκτελούντων αἰσίως, ἐν τῷ ναῷ τούτῳ ὑμῶν σήμερον, ὡς πρὸς Χριστόν, παῤῥησίαν ἔχοντες πάντοτε.

*Μεγάλυνον ψυχή μου, τοὺς τῶν παθημάτων, σωτῆρας ἀενάους.*

Ὑμνήτωσαν ὕμνοις, πιστῶν τὰ συστήματα, ἐγκωμίων στέμμασι, πάντων τὰς κορυφάς, Ἀναργύρων τῶν θείων κοσμοῦντες σοφῶς, τῶν θεραπόντων Χριστοῦ τοῦ Θεοῦ, δι' ὧν ἐκ παθῶν τε καὶ κινδύνων λυτρωθείημεν.

*Μεγάλυνον ψυχή μου, τοὺς κοινοὺς προστάτας, ἁπάντων τῶν νοσούντων.*

Ῥώννυται νῦν πᾶσα, πιστῶν ἡ ὁμήγυρις, καὶ ἄθλους γεραίρουσα, πάτων τῶν ἐνδόξων Ἀναργύρων, τοὺς μυρίους πόνους, δι' ὧν τῆς ἀπόνου ἠξιώθησαν, τρυφῆς καὶ ζωῆς, καὶ ἀϊδίου ἀπολαύσεως.

*Μεγάλυνον ψυχή μου, τοὺς μεγαλυνθέντας, ὑπὸ Χριστοῦ Κυρίου, πανσόφους ἰατῆρας.*

Ὡς πάλαι σωτῆρες, δειχθέντες Ἀνάργυροι, τοῖς δεινοῖς πάθεσι, ζώοις λογικοῖς τε καὶ ἀλόγοις, ἰάσεις ποιοῦντες, δι' ὧν ἰατῆρες ὄντως ἄμισθοι, ὡς τότε καὶ νῦν, ἀναφανέντες μακαρίζεσθε.

*Μεγάλυνον ψυχή μου, τοὺς τῶν νοσημάτων, τὴν λύσιν πᾶσι δόντας.*

Ναὸν τὸν τῇ κλήσει, ὑμῶν σεμνυνομένον, σὺν τοῖς πιστῶς σύναξιν, ταύτην τὴν εὐκλεῆ συγκροτοῦσι, θεῖοι Ἀνάργυροι, ἐν οἷς ἀοράτως συμπαρίστασθε, συμφώνως ὁμοῦ, διατηρήσατε ἀπήμαντα.

*Θεοτοκίον.*

*Μεγάλυνον ψυχή μου, σὺν τοῖς Ἀναργύροις, τὴν ἄχραντον Μητέρα.*

Τῷ τόκῳ Σου πᾶσα, κτίσις Κόρη σέσωσται, καὶ ἀφεῖλε Κύριος θρῆνος καὶ ὀδυρμόν, καὶ πᾶν δάκρυον, ἐκ παντὸς προσώπου ἁγνή, Θεοτόκε παναμώμητε ἐν Σοί, καὶ ἡμεῖς τὰς ὀφειλὰς ἀποπληρούμεθα.

*Ὁ β΄ Κανών. Ἅπας γηγενής.*

*Ἄνθρωποι, οἱ πάθεσι νοσημάτων παντοίων πιεζόμενοι, προσδράμωμεν πεποιθότες, τῇ τῶν Ἀναργύρων ταχείᾳ ἀντιλήψει.*

Ἅπαντες πιστῶς τὴν μνήμην τελέσωμεν τῶν πολιούχων ἡμῶν, καὶ πανηγυρίσωμεν, λαμπρῶς βοῶντες αὐτοῖς φρούρήσατε, ποίμνην ὑμῶν μακάριοι θεῖοι ὑπέρμαχοι, ἀπὸ πάσης βλάβης τε καὶ θλίψεως, καὶ ἐκ νόσων παντοίων λυτρούμενοι.

*Σήμερον, παρίστανται ἀοράτως τούτῳ τῷ τεμένοι, οἱ θεῖοι Ἀνάργυροι, χάριν οὐρανόθεν, πᾶσι τοῖς αἰτοῦσιν ἀφθόνως παρέχοντες.*

Ἴδε φωταυγής, λαμπρὰ καὶ πανεύσημος τῶν Ἀναργύρων νυνί, ἡ μνήμη ἀνέτειλε, καὶ καταυγάζει πιστῶν συστήματα, τῶν προσιόντων πίστει τε θερμῇ καὶ πόθῳ πολλῷ, εἰς τὸν θεῖον ναὸν καὶ σεπτότατον, τὸν τῇ κλήσει αὐτῶν κλεϊζόμενον.

*Σήμερον, τὸ ἄδυτον φῶς ἀστράπτει, τῆς ὑπερουσίου Τριάδος, τῇ τῶν Ἀναργύρων ἐνδόξῳ μνήμῃ, χάριτας ἐκπέμπων, τοὶς τούτους εὐφημοῦσι.*

Δέξαι ὢ πληθύς, σοφῶν Ἀναργύρων νῦν τὸ παρὸν ψέλλισμα, οὖσα θεοτίμητος, λίαν ἐν πᾶσιν ὥσπερ ἐδέξατο, χήρας λεπτὰ τὰ δύω τε Χριστὸς ὁ Κύριος, καὶ πταισμάτων, ἄφεσίν μοι αἴτησαι, καὶ διπλῆς ἀσθενείας με λύτρωσαι.

*Θεοτοκίον.*

*Πάναγνε, παντάνασσα Κόρη, πρέσβευε συνήθης καὶ δός μοι λύσιν τῶν πταισμάτων, καὶ ῥῶσιν τῶν πολλῶν μου, παθῶν καὶ νοσημάτων.*

Στῶμεν εὐλαβῶς, ἐν οἴκῳ Θεοῦ ἡμῶν καὶ ἐκβοήσωμεν, χαῖρε κόσμου Δέσποινα, χαῖρε Μαρία Κυρία πάντων ἡμῶν, χαῖρε ἡ μόνη ἄμωμος ἐν γυναιξὶ καὶ καλή, χαῖρε σκεῦος, μύρον τὸ ἀκένωτον, ἐπὶ Σὲ κενωθὲν εἰσδεξάμενον.

*Ἐξαποστειλάριον. Ἐν πνεύματι.*

Τὴν χάριν τῶν ἰάσεων, ἐκ Θεοῦ εἰληφότες, Ἀνάργυροι μακάριοι, τοῦ ἰᾶσθαι τὰς νόσους, καὶ θεραπεύειν ἅπαντας, τοὺς πιστῶς προστέροντας, τῷ θείῳ ὑμῶν τεμένει, διὰ τοῦτο συμφώνως, μακαρίζομεν ἀξίως, τὴν σεπτὴν ὑμῶν μνήμην.

*Ἕτερον. Τοῖς Μαθηταῖς.*

Σὺν τοῖς Κοσμᾶ ὑμνήσωμεν, Σαμψὼν Παντελεήμονα Δαμιανοὺς Ἑρμόλαον, Κύρον καὶ Ἰωάννην, Θαλλέλαιον Ἀνίκητον, Τρύφωνα Διομήδην, Λεόντιον Εὐτρόπιον, Ἄνθιμον σὺν Μωκίῳ, Ἰουλιανόν, καὶ τοὺς Εἴκοσιν ἅμα εὐφημοῦντες, ἐνθέως ἑορτάσωμεν, τὴν φαιδρὰν αὐτῶν μνήμην.

*Θεοτοκίον.*

Ὄρος Θεοῦ παλάτιον, καὶ λυχνίαν καὶ στάμναν, καὶ κιβωτὸν καὶ τράπεζαν, ῥάβδον τε καὶ πυρεῖον, καὶ θεῖον

θρόνον καὶ πύλην, καὶ ναὸν καὶ παστάδα, ὑμνήσωμεν θεόφρονες, τὴν ἁγνὴν καὶ Παρθένον ἐξ ἧς Θεός, σαρκωθεὶς ἀτρέπτως καὶ ὑπὲρ φύσιν, ἐθέωσε τὸ πρόσλημμα, ἀποῤῥήτῳ ἑνώσει.

*Αἶνοι. Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν.*

Τί ὑμᾶς καλέσω Ἀνάργυροι; Οὐρανοὺς ὅτι τὴν δόξαν διηγεῖσθε τοῦ Θεοῦς, λειτουργοὺς ὅτι ἀπαύστως ἐδοξάσατε Αὐτόν, ἀσάρκους, τὴν γαρ σάρκα ἀπεστράφητε, ἀστέρας, καταυγάζετε τὰ πέρατα, πολλὰ ὑμῶν τὰ ὀνόματα, καὶ πλείω τὰ προτερήματα, πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί ὑμᾶς καλέσωμεν ἔνοδξοι; ἰατροὺς ὅτι τὰς νόσους ἐξιᾶσθε τῶν βροτῶν, ποταμοὺς ὅτι θαυμάτων ἐπληρώσατε τὴν γῆν, σωτῆρας, πάντας σῴζοντας ἐκ θλίψεων, φωστῆρας, ὡς πολλοὺς καταφωτίζοντας, πολλὰ ὑμῶν τὰ χαρίσματα, καὶ μέγιστα τὰ τεράστια, πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί ὑμᾶς σοφοὶ ὀνομάσωμεν; Τῶν παθῶν ἐκριζωτὰς ἢ φωτοκόμους ἀρετῶν, παραδείσους νοητοὺς ἢ ἀγλαόκαρπα φυτά, ἐνέργειαν, χαρίτων ἀναπέμποντας, τροφήν, ἀθανασίας πᾶσι νέμοντας, πολλὰ ὑμῶν τὰ χαρίσματα, ἀδάπανα τὰ ἰάματα, πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Οὗτος ὁ ναὸς ἀναδέδεικται, ποταμὸς ὡς ὁ Ἐδέμ, ὁ μεριζόμενος ἐν γῇ, προχοὰς τῶν ἰαμάτων διανέμων τοῖς πιστοῖς, ἀνάργυρον, τὴν χάριν παρεχόμενος, τοῖς πόθῳ καὶ ἐκ πίστεως κραυγάζουσι· πολλὰ ὑμῶν τὰ θαυμάσια, Ἀνάργυροι παμμακάριστοι, πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῶν Ἁγίων Ἀναργύρων ἡ πληθύς, ἐκ τῶν τῆς οἰκουμένης περάτων εἰς ἓν συγκροτηθεῖσα, τὴν παροῦσαν ἐφαίδρυνεν ἡμέραν, ἐν ᾗ ὡς ὁμότροποι μίαν συμπλέκουσιν ἁρμονίαν, ἐν τῷ σεπτῷ αὐτῶν σήμερον τεμένει, ἐν ᾧ ἀοράτως παριστάμενοι, σὺν τῷ Χριστῷ τῷ στέφοντι τὰς ἱερὰς τούτων κάρας, καὶ παρέχοντι τὴν ἀένναον χάριν τῶν θαυμάτων. Πρὸς οὓς μελῳδικῶς βοήσωμεν· ὢ θεία παρεμβολή, θεηγόροι ὁπλῖται, παρατάξεως Κυρίου, ἀστέρες ἀείφωτοι, τοῦ νοητοῦ στερεώματος, τῆς μυστικῆς Σιών, οἱ ἀκαθαίρετοι πύργοι, τὰ μυρίπνοα ἄνθη τοῦ Παραδείσου, οἱ ἄοκνοι ἰατροὶ τῶν νοσούντων, Μαρτύρων τὸ καύχημα, δικαίων ἀγλάϊσμα, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

